λαγῆς ἀποτείσουσιν καὶ θελήσουσιν εἰ ἐγενήθησαν πυρίκαυστοι.
5 [5]ὅτι παιδίον ἐγεννήθη ἡμῖν, υἱὸς καὶ ἐδόθη ἡμῖν, οὗ ἡ ἀρχὴ ἐγενήθη
ἐπὶ τοῦ ὤμου αὐτοῦ, καὶ καλεῖται τὸ ὄνομα αὐτοῦ Μεγάλης βουλῆς
ἄγγελος · ἐγὼ γὰρ ἄξω εἰρήνην ἐπὶ τοὺς ἄρχοντας, εἰρήνην καὶ
6 ὑγίειαν αὐτῷ. [6]μεγάλη ἡ ἀρχὴ αὐτοῦ, καὶ τῆς εἰρήνης αὐτοῦ οὐκ
ἔστιν ὅριον ἐπὶ τὸν θρόνον Δαυιδ καὶ τὴν βασιλείαν αὐτοῦ κατορ-
θῶσαι αὐτὴν καὶ ἀντιλαβέσθαι αὐτῆς ἐν δικαιοσύνῃ καὶ ἐν κρίματι
ἀπὸ τοῦ νῦν καὶ εἰς τὸν αἰῶνα χρόνον · ὁ ζῆλος κυρίου σαβαωθ
ποιήσει ταῦτα.
7 [7]Θάνατον ἀπέστειλεν κύριος ἐπὶ Ιακωβ, καὶ ἦλθεν ἐπὶ Ισραηλ,
8 [8]καὶ γνώσονται πᾶς ὁ λαὸς τοῦ Εφραιμ καὶ οἱ ἐγκαθήμενοι ἐν Σαμα-
9 ρείᾳ ἐφ᾽ ὕβρει καὶ ὑψηλῇ καρδίᾳ λέγοντες [9]Πλίνθοι πεπτώκασιν,
ἀλλὰ δεῦτε λαξεύσωμεν λίθους καὶ ἐκκόψωμεν συκαμίνους καὶ κέ-
10 δρους καὶ οἰκοδομήσωμεν ἑαυτοῖς πύργον. [10]καὶ ῥάξει ὁ θεὸς τοὺς
ἐπανιστανομένους ἐπ᾽ ὄρος Σιων ἐπ᾽ αὐτοὺς καὶ τοὺς ἐχθροὺς
11 αὐτῶν διασκεδάσει, [11]Συρίαν ἀφ᾽ ἡλίου ἀνατολῶν καὶ τοὺς Ἕλλη-
νας ἀφ᾽ ἡλίου δυσμῶν τοὺς κατεσθίοντας τὸν Ισραηλ ὅλῳ τῷ
στόματι. ἐπὶ τούτοις πᾶσιν οὐκ ἀπεστράφη ὁ θυμός, ἀλλ᾽ ἔτι ἡ
12 χεὶρ ὑψηλή. — [12]καὶ ὁ λαὸς οὐκ ἀπεστράφη, ἕως ἐπλήγη, καὶ τὸν
13 κύριον οὐκ ἐξεζήτησαν. [13]καὶ ἀφεῖλεν κύριος ἀπὸ Ισραηλ κεφαλὴν
14 καὶ οὐράν, μέγαν καὶ μικρὸν ἐν μιᾷ ἡμέρᾳ, [14]πρεσβύτην καὶ τοὺς
τὰ πρόσωπα θαυμάζοντας (αὕτη ἡ ἀρχή) καὶ προφήτην διδάσκοντα
15 ἄνομα (οὗτος ἡ οὐρά). [15]καὶ ἔσονται οἱ μακαρίζοντες τὸν λαὸν
16 τοῦτον πλανῶντες καὶ πλανῶσιν ὅπως καταπίωσιν αὐτούς. [16]διὰ
τοῦτο ἐπὶ τοὺς νεανίσκους αὐτῶν οὐκ εὐφρανθήσεται ὁ θεὸς καὶ
τοὺς ὀρφανοὺς αὐτῶν καὶ τὰς χήρας αὐτῶν οὐκ ἐλεήσει, ὅτι πάν-
τες ἄνομοι καὶ πονηροί, καὶ πᾶν στόμα λαλεῖ ἄδικα. ἐπὶ πᾶσιν
17 τούτοις οὐκ ἀπεστράφη ὁ θυμός, ἀλλ᾽ ἔτι ἡ χεὶρ ὑψηλή. — [17]καὶ
καυθήσεται ὡς πῦρ ἡ ἀνομία καὶ ὡς ἄγρωστις ξηρὰ βρωθήσεται
ὑπὸ πυρός · καὶ καυθήσεται ἐν τοῖς δάσεσι τοῦ δρυμοῦ, καὶ συγ-

4 εγενηθησαν] -νοντο B || 5 ημιν bis] 1⁰ υμ. Q*Cp†, 2⁰ υμ. S*A† | και 1⁰ > B | καλειται] -λεσει A† | αγγελος] + θαυμαστος συμβουλος θεος(>A†) ισχυρος εξουσιαστης αρχων ειρηνης πατηρ του μελλοντος αιωνος ASsLC (in O sub ※) | εγω γαρ αξω] αξω γαρ BLC | ειρηνην ult. AQScL] > BS*C || 6 η > S*† | αυτης AQScL] > BS*C | δικαιοσυνη ... κριματι] tr. BLC | εις τον αιωνα] εως του αιωνος S 393† | χρονον AQ (cf. 13 20 14 20 etc.)] > BSLC: cf. Bar. 3 13 || 7 θανατον] λογον S*: sic uerterunt σ′ θ′ || 8 εγκαθημ. AQSc] εγ > BS*LC | εφ] εν S 393† || 9 εκκοψ. SA] εκ > BQLC | και 2⁰⌒3⁰ S*† || 10 επανιστανομ. S*A 393†] -σταμ. rel.; + επι ιερουσαλημ (sic) S*: cf. inf. | επ 1⁰] επι BC, επι το L | ορους A | σιων] + και επι ιερουσαλημ L: cf. sup. | αυτους S*A] -τον BQScLC | αυτων SA] > BQ, αυτου C (in O sub ※), ιουδα L || 11 στομ.] + αυτων S† || 12 επεστραφη BL | κυριον] + των δυναμεων LC (in O sub ※) | εξεζητ. AQSc] εξ > BS*LC || 15 καταπινωσιν BS*LCp || 16 αυτων 1⁰ > A† | θεος] κυριος BC